# ΕΥΧΗ
# ΥΠΕΡ ΕΛΕΥΘΕΡΩΣΕΩΣ ΤΩΝ ΑΙΧΜΑΛΩΤΩΝ

**Κ**ύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν Παναγίαν Σου Μητέρα τιμιωτέραν ἀναδείξας πασῶν τῶν ἐπουρανίων δυνάμεων, Αὐτός, Πανάγαθε, διὰ τῶν πρεσβειῶν αὐτῆς, θείᾳ δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σου Σταυροῦ, ἱκεσίαις τοῦ Ἁγίου ἐνδόξου Προφήτου καὶ Βαπτιστοῦ Ἰωάννου, τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Καππαδόκου, τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου καὶ πάντων Σου τῶν Ἁγίων, ἐπάκουσον ἡμῶν τῶν ἀναξίων δούλων Σου καὶ **ὑπεράσπισον καὶ σῶσον τοὺς δούλους Σου Ἄγγελον καὶ Δημήτριον, τῶν ὑπὸ τῶν ἀλλοθρήσκων ἀπαχθέντων, καὶ ταχέως ἀπελευθέρωσον αὐτοὺς τῇ θείᾳ Σου δυνάμει καὶ διαφύλαξον αὐτοὺς καὶ τὸν κόσμον Σου ἅπαντα ἀπὸ παντὸς ἐγκλήματος φθοροποιοῦ καὶ ἐπιβούλου πράξεως καὶ ἀπὸ πάσης κακουργίας καὶ ἐπιθέσεως,** ἵνα ἐν εἰρήνῃ καὶ ἀσφαλείᾳ μεταλαμβάνοντες τῆς ἀμετρήτου καὶ ἀνεικάστου Σου ἀγάπης δοξάζομεν διὰ παντός τό Πανάγιον Ὄνομά Σου εἰς τοὺς αἰώνας τῶν αἰώνων. Ἀμήν.

*Πηγὴ τῆς προσευχῆς: Ἅπαντα Ὀρθοδοξίας*

©2018 - Ὀρθόδοξα Χριστιανικὰ Σωματεῖα Ἀθηνῶν

